Σχ. Τὰς δὲ ξενίζειν] παροιμία ἐπὶ τῶν πολλοὺς ξένους ὑποδεχομένων, οὐδέποτ' ἴσχει ἡ θύρα. μέμνηται δὲ Εὔπολις ἐν φίλοις. νὴ τὸν Ποσειδῶ, οὐδέποτ' ἴσχει ἡ θύρα. καὶ Καλλίμαχος ἐν Ἑκάλῃ. τίον δὲ ἑ πάντες ὁδῖται. ἦ γὰρ φιλοξενίης ἔχε στέγος ἀκλήϊστον. καὶ Πίνδαρος. ἔνθ' ἄρα πεπταμέναν ξείνων ἕνεκεν ταὶν θύραιν. λέγει δὲ περὶ τῶν Πρυτάνεων. διότι αὐτῶν μὲν ὑπὲρ τῆς πόλεως στρατευομένων καὶ πονοῦντα οὐ δέχονται. τοὺς δὲ πρέσβεις ξένους ὄντας, καὶ ξενίζουσιν ἐν αὐτῷ. ἴσχει δὲ, ἀντὶ τοῦ κωλύει ἢ ἀποκλείει. ἄλλως. οὐδέποτε ἐκώλυσεν, ἢ ἀπέκλεισεν. ὁ δὲ λόγος, ἐπὶ τῶν Πρυτάνεων, καθὸ ἐπὶ ξενίαν καλοῦσι τοὺς ἀφικνουμένους.

---

BISETVS. Δικαιόπολις τὸν δῆμον κεναῖς ἐλπίσι τρέφεσθαι, καὶ θωπεύεσθαι καταμαθὼν, αὐτὸς περὶ τῶν ἑαυτῷ συμφερόντων βουλευσάμενος, καλὴν ἔλαβε βουλὴν, καὶ τὸν Ἀμφίθεον πρὸς τοὺς Λακεδαιμονίους ἐπρέσβευσε σπονδὰς ἑαυτῷ, καὶ τοῖς ἑαυτοῦ οἰκείοις πρὸς αὐτοὺς ποιήσοντα.

Δι. Ἐμοὶ σὺ ταυτασὶ λαβὼν ὀκτὼ δραχμὰς,
Σπονδὰς ποίησαι πρὸς Λακεδαιμονίους
μόνῳ,
Καὶ τοῖσι παιδίοισι καὶ τῇ πλάτιδι,
Ὑμεῖς δὲ πρεσβεύεσθε, καὶ κεχήνατε.

DI. *Cape has à me drachmas octo, & soli mihi*
*Puerísque meis, & coniugi meæ optimæ*
*Fœdus inito cum Lacedæmoniorum poplo:*
*Vos legatos mittite, hiate & stupescite.*

Σχόλια. Καὶ τῇ πλάτιδι] τῇ γυναικὶ παρὰ τὸ πελάζειν τῷ ἀνδρὶ κατὰ τὴν κοίτην. Πρεσβεύεσθε.] ἀντὶ τοῦ πρέσβεις πέμπετε. τὸ δὲ κεχήνατε ἐξαπατᾶσθε καὶ ἐννεοὶ ἐστέ.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ, Σκηνὴ τετάρτη.

### ΚΗΡΥΞ, ΘΕΩΡΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ.

## ACTVS I. SCENA IV.

### PRÆCO, THEORVS, DICÆOPOLIS.

BISETVS. Θέωρος εἰς τὴν βουλὴν ὑπὸ κήρυκος εἰσκηρύττεται, ἵνα τὴν παρὰ Σιτάλκους τοῦ Θρακῶν βασιλέως περὶ συμμαχίας, καὶ βοηθείας ἀπόκρισιν ἀποφαίνῃ. ἀλλὰ καὶ περὶ μεγαλοπρεπείας τοῦ βασιλέως ὑποσχέσεις διηγούμενος ὁμοίως τῆς κενῆς ἐλπίδος κολακείᾳ τὸν δῆμον θηλάζει, καὶ φενακίζει.

Κη. Προσίτω Θέωρος ὁ παρὰ Σιτάλκους. Θε. ὅδε. Κη. Θέωρ.
Δι. Ἕτερος ἀλαζὼν οὗτος εἰσκηρύττεται.
Θεωρ. Χρόνον μὲν οὐκ ἂν ἦμεν ἐν Θρᾴκῃ πολύν.
Δικ. Μὰ Δί' οὐκ ἂν εἰ μισθόν γε μὴ 'φερες πολύν.
Θε. Εἰ μὴ κατένιψε χιόνι τὴν Θρᾴκην ὅλην,
Καὶ τοὺς ποταμοὺς ἔπηξ' ὑπ' αὐτὸν τὸν χρόνον.
Ὅτ' ἐνθάδε Θέογνις ἠγωνίζετο,
Τοῦτον μετὰ Σιτάλκους ἔπινον τὸν χρόνον.
Καὶ δῆτα φιλαθήναιος ἦν ὑπερφυῶς,
Ὑμῶν τ' ἐραστὴς ἦν ἀληθῶς, ὥστε καὶ
Ἐν τοῖσι τοίχοις ἔγραφεν, Ἀθηναῖοι καλοί.
Ὁ δ' υἱὸς, ὃν Ἀθηναῖον ἐπεποιήμεθα,
Ἤρα φαγεῖν ἀλλᾶντας ἐξ Ἀπατουρίων,
Καὶ τὸν πατέρ' ἠντεβόλει βοηθεῖν τῇ πάτρᾳ.
Ὁ δ' ὤμοσε σπένδων, βοηθήσειν, ἔχων
Στρατιὰν τοσαύτην, ὥστ' Ἀθηναίους ἐρεῖν,

PR. *Accedat & à Sithalce Theorus.* TH. *eccum.* PR. *agè.*
DI. *Alius hic est veterator, qui voce publica*
*In concionem prouocatur huc modò.*
TH. *Non essemus diu morati in Thracia.*
DI. *Non equidem, si non amplum auferres præmium.*
TH. *Si nix non obruisset totam Thraciam,*
*Et illo ipso tempore aquæ riguissent gelu:*
*Quando Theognis ibi pugnauit pro gloria,*
*Interea cum Sithalce potabam: quia*
*Supra modum est amans Atheniensium,*
*Et verè noster amicus, qui etiam ad parietes*
*Manu scripserit: Athenienses sunt boni.*
*At filius, quem ciuem nostrum fecimus,*
*Cupiebat farcimina edere ex Apaturijs:*
*Patrémque orabat, vt patriæ succurreret:*
*Iurauit is inter sacrificandum, sese opem*
*Laturum: habetq́, tantos secum exercitus,*

Σχόλια. Προσίτω Θέωρος.] καὶ οὗτος ἐπὶ κολακείᾳ κωμῳδεῖται. ὁ κήρυξ καλεῖ ἄλλον πρεσβευτὴν ἐλθόντα παρὰ Σιτάλκους τοῦ Θρακῶν βασιλέως, πρὸς ὃν ἦσαν ἀποστείλαντες αὐτὸν Ἀθηναῖοι. οὕτω δὲ, ἐκάλει Θέωρος. μέμνηται δὲ αὐτοῦ ποτὲ μὲν ὡς ἐν Νεφέλαις. φησὶ γὰρ, εἴπερ βάλλει τοὺς ἐπιόρκους, πῶς δῆτ' οὐχὶ Σίμων' ἐνέπρησεν, οὐδὲ Κλεώνυμον. οὐδὲ Θέωρον. καίτοι σφόδρα γ' εἴσ' ἐπίορκοι. ποτὲ δὲ, ὡς κόλακος. ὡς ἐν τοῖς Σφηξίν. εἰσκηρύττεται δὲ ἀντὶ τοῦ καλεῖται ὑπὸ τοῦ κήρυκος. Οὐκ ἄν γ' εἰ μισθόν γε μὴ ἔφερες.] τοῦτο διὰ μέσου ὁ Δικαιόπολις. οὐκ ἂν ἔτριψας τὸν χρόνον εἰ μὴ πολὺν μισθὸν ἐλάμβανες. τὸ γὰρ ἔφερες, ἀντὶ τοῦ ἐλάμβανες. ἐβάσταζες. Ὅτ' ἐνθάδε Θέογνις.] οὗτος ὁ Θέογνις τραγῳδίας ποιητὴς ψυχρός. κωμῳδῶν οὖν αὐτὸν, παρεισποιῶν ἡμῖν τὴν πολλὴν χιόνα, διὰ τὴν τούτου περὶ τὰ ποιήματα ψυχρότητα, τὸν ψυχρὸν οὖν τῷ ψυχρῷ παρέβαλεν. πάνυ δὲ χαριέντως ἔσκωψε. Καὶ δῆτα φιλαθήναιος.] τὸ φιλαθήναιος, προπαροξύνειν δεῖ. ἐπειδὴ τὰ εἰς ος λήγοντα προπαροξυνόμενα ἁπλᾶ, ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον. οἷον δῆμος, Ἀριστόδημος. πόλος